κλοιὸν φοροῦντα περὶ μέσον τὸν αὐχένα
ἐξεπτοίθη, Μενέλεων, ἀνθρώπιον
λῷστον, λιποῦσα. μηδαμοῦ γένος ποτὲ
φῦναι γυναικῶν ὤφελ᾽, εἰ μὴ ᾽μοὶ μόνῳ.
ΣΕΙ. ἰδοὺ τάδ᾽ ὑμῖν ποιμνίων βοσκήματα,
ἄναξ Ὀδυσσεῦ, μηκάδων ἀρνῶν τροφαί,
πηκτοῦ γάλακτός τ᾽ οὐ σπάνια τυρεύματα.
φέρεσθε, χωρεῖθ᾽ ὡς τάχιστ᾽ ἄντρων ἄπο,
βότρυος ἐμοὶ πῶμ᾽ ἀντιδόντες εὐίου.
οἴμοι· Κύκλωψ ὅδ᾽ ἔρχεται· τί δράσομεν;
ΟΔ. ἀπολώλαμεν γάρ, ὦ γέρον· ποῖ χρὴ φυγεῖν;
ΣΕΙ. ἔσω πέτρας τῆσδ᾽, οὗπερ ἂν λάθοιτέ γε.
ΟΔ. δεινὸν τόδ᾽ εἶπας, ἀρκύων μολεῖν ἔσω.
ΣΕΙ. οὐ δεινόν· εἰσὶ καταφυγαὶ πολλαὶ πέτρας.
ΟΔ. οὐ δῆτ᾽· ἐπεί τἂν μεγάλα γ᾽ ἡ Τροία στένοι,
εἰ φευξόμεσθ᾽ ἕν᾽ ἄνδρα, μυρίον δ᾽ ὄχλον
Φρυγῶν ὑπέστην πολλάκις σὺν ἀσπίδι.
ἀλλ᾽, εἰ θανεῖν δεῖ, κατθανούμεθ᾽ εὐγενῶς,
ἢ ζῶντες αἶνον τὸν πάρος εὖ σώσομεν.
ΚΥ. ἄνεχε, πάρεχε, τί τάδε; τίς ἡ ῥᾳθυμία;
τί βακχιάζετ᾽; οὐχὶ Διόνυσος τάδε,
οὐ κρόταλα χαλκοῦ τυμπάνων τ᾽ ἀράγματα.
πῶς μοι κατ᾽ ἄντρα νεόγονα βλαστήματα;
ἦ πρός τε μαστοῖς εἰσι χὐπὸ μητέρων
πλευρὰς τρέχουσι, σχοινίνοις τ᾽ ἐν τεύχεσι
πλήρωμα τυρῶν ἐστιν ἐξημελγμένον;
τί φατε; τί λέγετε; τάχα τις ὑμῶν τῷ ξύλῳ
δάκρυα μεθήσει· βλέπετ᾽ ἄνω καὶ μὴ κάτω.
ΧΟ. ἰδού, πρὸς αὐτὸν τὸν Δί᾽ ἀνακεκύφαμεν,
τά τ᾽ ἄστρα καὶ τὸν Ὠρίωνα δέρκομαι.
ΚΥ. ἄριστόν ἐστιν εὖ παρεσκευασμένον;
ΧΟ. πάρεστιν. ὁ φάρυγξ εὐτρεπὴς ἔστω μόνον.

---

188. *ποιμνίων*] Scaliger, *ποιμένων* libri, 193. *ΣΕΙ.*] L. Dindorfius, *ΟΔ.* libri. 202. *πάρος εὖ B πάρος γ᾽ εὖ C* 203. 214. 216. 218. *ΚΥ.*] Tyrwhittus, *ΣΕΙ.* libri. 204. *οὐχὶ Διόνυσος*] Musgravius, *οὐ διόνυσος B οὐ διώνυσος C* 207. *τε B γε C εἰσι χὐπό B η χ᾽ ὑπό C* 213. *καὶ τἄστρα* libri, *τά τ᾽ ἄστρα* Choeroboscus.